ἁγνότατον τέμενος, Παιᾶν' alcman.
ἐκελάδησαν ἰήιον glyc.
ἄνακτα, σύμμετροι δ' ἐπε- 2 ia.
κτύπεον ποδῶν ia.
ὑψικρότοις χορείαις. cho. ba.
ἀλλ' ὦ χρυσεοκίθαριν ἀέ- 2 ia.
ξων μοῦσαν νεοτευχῆ, pherecr.
ἐμοῖς ἔλθ' ἐπίκουρος ὕ- glyc.
μνοις ἰήιε Παιάν· pherecr.
ὁ γάρ μ' εὐγενέτας μακραί- glyc.
ων Σπάρτας μέγας ἁγεμὼν ,,
βρύων ἄνθεσιν ἥβας pherecr.
δονεῖ λαὸς ἐπιφλέγων glyc.
ἐλᾶι τ' αἴθοπι μώμωι, pherecr.
ὅτι παλαιοτέραν νέοις glyc.
ὕμνοις μοῦσαν ἀτιμῶ· pherecr.
ἐγὼ δ' οὔτε νέον τιν' οὔ- glyc.
τε γεραὸν οὔτ' ἰσήβαν ia. ba.
εἴργω τῶνδ' ἑκὰς ὕμνων· pherecr.
τοὺς δὲ μουσοπαλαιολύ- glyc.
μας, τούτους δ' ἀπερύκω, pherecr.
λωβητῆρας ἀοιδᾶν, ,,
κηρύκων λιγυμακροφώ- glyc.
νων τείνοντας ἰυγάς. pherecr.
πρῶτος ποικιλόμουσος 'Ορ- glyc.
φεὺς ⟨χέλ⟩υν ἐτέκνωσεν pherecr.



SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id415767245/232 UNIVERSITÄT LEIPZIG